κλεινῇ κουροτρόφῳ τ', ἐριβώλακι, τῇ μελανόχρως
Βάκχος, ξανθόχρως τε κρόκος φυέσθον, ἀρίστω
ἄμφω, ὁμῶς τ' ἐρατὼ πολλοῖσιν, χεῖμα δὲ λυγρῇ.
ἀλλὰ φίλοι πείθεσθε Καθηγητῇ μοι ἐόντι·
δῶ ποτὶ πάντες τε ξυνὴν μετὰ δαῖτα κιόντες
δεῦτε πανημέριοι θυμὸν φόρμιγγι λιγείῃ
τέρψατε· αὐτὰρ ἔπειτα χορείῃ μέλψατ' ἀοιδῇ.
Ὣς ἔφαθ' οἱ δ' ἀγέροντο ἀολλέες ἄλλος ἐπ' ἄλλῳ
πάντοθεν ὀρνύμενοι κατ' ἀγυιὰς ἅλμασι κούφοις·
σπεῦδον ἐπασσύτεροι δ' ὡσεὶ νέφη ὑδατόεντα
κίνησεν τὰ νότοιο λάβρου πνοιή τε βίη τε.
Ὣς τοί γ' ἐσσυμένως δὴ εὔδμητον ποτὶ δῶμα
ἤεσαν· ἔνθ' ἄρ' ἅπαντα περιφραδέως ἐτέτυκτο
αὐτὰρ ἑτοῖμα προκείατ' ἀμύμοσιν ἠϊθέοισιν
ἄρτοι ἐπ' εὐξέστῃσι τραπέζῃς ποικίλα τ' ὄψα,
πέμματά τ' ἰδὲ κύπελλα περίπλεω αἴθοπος οἴνου.
ἑξείης δ' ἕζοντο κατὰ κλισμοὺς εὐτύκτους·
σὺν δέ τ' ἐδαίνυντ'· οὔτις ἐδεύετο δαιτὸς ἐΐσης·
οὐ μὲν φόρμιγγος περικαλλέος ἣν ἔχ' ἀοιδός,
οὐδέ τ' ἀοιδάων, ὀπὶ τὰς σφιν μέλπε λιγείῃ.
Τοῖσι δὲ τερπομένοισιν ἀοιδαῖς μειλιχίῃσιν
εὐρύθμοιο ἔπειτ' ὀρχηστύος ἵμερος ὦρτο·
οὐ γὰρ ἐφετμάων ἐπελήθοντ' ἠΐθεοι δὴν
τάς σφι Καθηγητὴς αἰδοῖος πρίν γ' ἐπέτελλεν.
ἂν δ' ἄρα ἑξείης σφίσι φύντες χερσὶ 'πὶ καρπῷ,
ἐμμελέως ἄειδον ἐς ἓν μέλος ἐγκροτέοντες